# De recta vivendi ratione (capita xc)

## Περὶ ὀρθοῦ βίου κεφάλαια ϟ΄

1 α΄. Ὀρθοῦ βίου ὀρέγῃ; Ταπεινοφροσύνην ἄσκησον· ταύτης γὰρ ἐκτὸς ὀρθὸς βίος οὐχ ἵσταται. 2 β΄. Ὁδοιπόρος ἀνὴρ ἀρχὴν ὁδοῦ ἀπολέσας, ἐν ἀλλοδαπῇ χώρᾳ ὁ τοιοῦτος πλανᾶται· καὶ ὁ ἐκκλίνας ἑαυτὸν τῆς ὁδοῦ τῶν ταπεινῶν, οὐ πήξει σκηνὴν αὐτοῦ ἐν παρεμβολαῖς ὁσίων. 3 γ΄. Ἔργασαι ἐν ταπεινοφροσύνῃ πάντα τὰ ἔργα σου, ἐπ' ὀνόματος τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ἐν τούτῳ ὑψωθήσεταί σου ὁ καρπὸς εἰς οὐρανόν. Ἡ γὰρ ὑπερηφάνεια ἔοικεν ὑψηλοτάτῳ δένδρῳ σεσηπότι, πάντοθεν εὐθρύπτους ἔχοντι τοὺς κλάδους· καὶ ἀνελθὼν ἐν αὐτῷ ταχέως κατερράγη ἐξ ὕψους. 4 δ΄. Ἀρχὴ ἐγκαταλείψεως ἀνθρώπου, ἀφιστᾶν ἑαυτὸν τῆς ταπεινοφροσύνης· καὶ ὁ ἐγκαταλειφθεὶς ὑπὸ Θεοῦ, πνιγήσεται, ὡς Σαοὺλ ὑπὸ πονηροῦ πνεύματος. 5 ε΄. Πνιγμὸν χαλεπὸν ἡγοῦ τὰς τῶν ἁμαρτιῶν συνοχάς, καὶ τὸ μὴ ἀναδῦναι ἐκ τῆς πλημμύρας αὐτῶν, ἕως ὥρας θανάτου. 6 ϛ΄. Ἐὰν κατανοήσῃς ἀκριβῶς, εὑρήσεις τὰς παγίδας τοῦ Ἐχθροῦ κεχρισμένας μέλιτι καὶ γλυκασμῷ· ἵν' ὁ θέλων γεύσασθαι τοῦ μέλιτος ὑπὸ παγίδος συλληφθήσεται. 7 ζ΄. Μὴ ἐπιθύμει τοῦ τοιούτου μέλιτος, καὶ ὑπὸ παγίδος οὐ μὴ ἁλοίῃς· ἡ γὰρ γλυκύτης αὐτοῦ ἔσχατον χολῆς καὶ πικρίας ἐμπιμπλᾷ τοὺς ἰδίους ἐραστάς. 8 η΄. Ταπεινοφροσύνην ἀγάπα, καὶ ὑπὸ παγίδος διαβολικῆς οὐ συλληφθήσῃ ποτέ· ἀνώτερος γὰρ ἔσῃ σφόδρα τῶν παγίδων τοῦ Ἐχθροῦ, ὑπὸ ὀξυτάτου πτεροῦ κουφιζόμενος ἀεί. 9 θ΄. Ἐὰν θεάσῃ τινὰ νεανιευόμενον, πιθανὸν τῇ ὄψει καὶ ἀνθηρὸν τῇ ἐσθῆτι, ὄχλον σωμάτων περιφέροντα, μὴ ζηλοῦ, μηδὲ θορυβοῦ· ἀλλ' ἔγκρα τὴς γενοῦ τοῦ διανοήματος καὶ ὄψει αὐτὸν μετ' ὀλίγον σβεννύμενον. Μόνοι γὰρ ἐξήνθησαν καὶ διέλαμψαν οἱ κατὰ βούλησιν Θεοῦ πολιτευσάμενοι. 10 ι΄. Οἱ γενόμενοι σπουδαῖοι, εὐάρεστοι τῷ Κυρίῳ, οὐ προσεῖχον τοῖς ἀνθηροῖς τοῦ βίου· ἐπιστάμενοι σαφῶς, ὅτι ὡς ἄνθος χόρτου ταχὺ ξηρανθήσονται· ἡμεῖς δὲ οἱ ἀμελεῖς, ἐὰν θεασώμεθα πολυσαρκίαν σώματος, ἐρυθρὸν ταῖς παρειαῖς, τοῦτον μακαρίζομεν, κἂν ἐσχάτῃ ἀσεβείᾳ κατάκειται ὁ τοιοῦτος· πόρρω ἀφ' ἑαυτῶν ῥίψαντες τὸν ἐπίπονον βίον, οὐκ ἐπιστάμενοι ὁποῖον ἀξίωμα ἔχει τῶν ἀσκητῶν ὁ βίος. Τούτου χάριν σωφροσύνη μεμίσηται παρ' ἡμῶν, καὶ ὁ ἁγιασμὸς ἐβδέλυκται. 11 ια΄. Μὴ πρόσχωμεν, ἀδελφοί, παιδικοῖς ἀθύρμασιν, ἀλλὰ τέλειον βίον ἀναλάβωμεν ἀεί, ἵνα μὴ στερηθῶμεν τῆς χαρᾶς τῶν ἀσκητῶν, καὶ παραδοθῶμεν εἰς αἰωνίαν κόλασιν. 12 ιβ΄. Μακάριος ὁ πιανθεὶς ταῖς ἀγαθαῖς ἐλπίσι, καὶ λαμπρυνθεὶς ἐν ἀγαθαῖς ἐννοίαις· τὸ γὰρ κλέος τούτου πολὺ καὶ ἄληκτον. 13 ιγ΄. Ἡσυχίαν μεταδιώξωμεν, ἵνα θεωροῦντες τὰ ἑαυτῶν πλημμελήμα τα ταπεινωθῶμεν ἀεί, καὶ οὐχ ἵνα θρέψωμεν οἰήσεως λογισμὸν ἢ πονηρίας, καθάπερ τὰ ἰοβόλα ζῶα. 14 ιδ΄. Ἀγαπήσωμεν τὴν ἡσυχίαν, ἵνα σχῶμεν καθαρὰν τὴν καρδίαν καὶ ἄσπιλος φυλαχθῇ ἀπὸ φθορᾶς ἁμαρτιῶν, ὃν ἐπιστεύθημεν, ναός. 15 ιε΄. Καλὴ ἡ προσευχὴ μετὰ στεναγμῶν καὶ δακρύων, καὶ ταῦτα καὶ ἡσύχως προχεόμενα. Τὸ δὲ εἰς ἀκουστὸν κράζειν ἀνθρωπαρεσκείας σημεῖον. Ὁ δὲ ἐν γνώσει καὶ πίστει προσευχόμενος, τὸν Κύριον ἐνώπιον αὐτοῦ προορᾷ, καθότι ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν. 16 ιϛ΄. Ἐὰν πεπώρωταί σου ἡ καρδία, κλαῖε ἐνώπιον τοῦ Θεοῦ, ὅπως ἐπιστάζῃ σοι φωτισμὸν γνώσεως, καὶ μὴ σκῶπτε τοὺς ἐν θερμότητι καρδίας βοῶντας εἰς οὐρανόν. 17 ιζ΄. Ὁ γὰρ σκώπτων τοὺς πονητικούς, δοῦλον παρέσχεν ἑαυτὸν τῷ Δολίῳ, ἐκείνου ἐπιτελῶν τὰ μυσαρὰ θελήματα. Ὁ τοιοῦτος οὐ μὴ εὕρῃ χαρὰν τὴν ἡτοιμασμένην τοῖς δούλοις τοῦ Κυρίου. 18 ιη΄. Σὺ δέ, ἀσκητά, ἐν γνώσει ἐπιτέλει τὰ ἔργα σου πάντοτε, καὶ μὴ διδῶμεν ἀφορμὴν τοῖς ζητοῦσιν ἀφορμήν. 19 ιθ΄. Οὐαὶ τῷ ἀνελεήμονι· καὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐαὶ τῷ δολίῳ· καὶ οὐαὶ τῷ τρυφητῇ· πικρὸς γὰρ συναντήσει αὐτοῖς ὁ ᾅδης. Ὑποδούλους γὰρ ἑαυτοὺς παρέχουσι χάριν γαστριμαργίας, καὶ τὸν Θεὸν ἀθετοῦσιν, ἵνα ἀρχὴν καὶ ἀξίαν εὕρωσιν ἐν τῷ ματαίῳ βίῳ τούτῳ. Ἦλθεν ἄφνω θάνατος, ἐξήρανε τὸν λαιμόν, ἐν ᾧ τὰ λαμπρὰ ἐδέσματα ἐδέχοντο συνεχῶς, κατήργησε τὴν ἀρχήν, δι' ἧς ἠθέτουν τὸν ποιήσαντα αὐτούς. Ἔρριπται λοιπὸν ἐπὶ γῆς, ὡς κοπρία, τὰ σώματα τῶν ἀθλίων, καὶ ἄγονται αἱ ψυχαὶ εἰς τὸν τόπον τὸν ἴδιον. 20 κ΄. Τὰ τερπνὰ τοῦ βίου θεωρῶν, πρόσεχε μὴ ἑλκυσθῇς· ἐν αὐτοῖς γὰρ κέκρυπται ἡ παγὶς τοῦ θανάτου. Καὶ γὰρ ὁ ἁλιεὺς οὐ γυμνὸν χαλᾷ τὸ ἄγκιστρον. 21 κα΄. Τῇ ἐπιθυμίᾳ ὁ Ἐχθρός, ὡς δέλεαρ ἐν ἀγκίστρῳ, κέχρηται, ἵνα ἅπασαν ψυχὴν ὑπεύθυνον ἑαυτῷ κατεργάσηται ὁ μιαρός. 22 κβ΄. Ἡ πρώτη συλληφθεῖσα ψυχὴ παγὶς ἔσται ἑτέραις πρὸς τὸ ἐκείνου θέλημα, ἐγγλυκαίνουσα τὰς μὴ πειρασθείσας ψυχὰς τῇ τοῦ Δράκοντος πικρίᾳ. Καὶ γὰρ πέρδιξ συλληφθεὶς δέλεαρ ἔσται τοῖς μήπω ὑπὸ βρόχων ἁλοῦσι· στήσας γὰρ τοῦτον ὁ θηρευτής, κύκλῳ αὐτοῦ τοὺς βρόχους, τοὺς καλῶς ἱπταμένους θηρεύει. 23 κγ΄. Τὴν ἀρετὴν ἄσκει μὴ ἐκκακῶν ἐν τοῖς πόνοις· δίχα γὰρ πόνων ἀρετὴ οὐ γνωρίζεται. 24 κδ΄. Ἄνω ἔχε ἐν τοῖς πόνοις τὸ τῆς ψυχῆς ὄμμα· καὶ θεωρῶν τὴν χαρὰν ἐκείνην, οὐ παραιτήσῃ τοὺς πόνους. 25 κε΄. Πόνον πόνει ἐμπόνως, ἵνα διαδράσῃς τῶν ματαίων πόνων τοὺς πόνους· οἱ γὰρ πόνοι τῶν δικαίων καρπὸν ζωῆς βλαστάνουσιν· οἱ δὲ τῶν ἁμαρτωλῶν, πλήρεις εἰσὶν ἀγχόνης. 26 κϛ΄. Κατὰ Θεὸν ὑπόμεινον τὰς θλίψεις τοῦ ἐνεστῶτος βίου, καὶ οὐ ματαιωθήσῃ τῆς ἐλπίδος τῶν Ἁγίων. Ὁ γὰρ ζυγὸς τοῦ Ἐχθροῦ λύπην ἔχει ἐνέαυτῷ τὸν θάνατον τίκτουσαν. 27 κζ΄. Οἱ μάταιον βίον πονοῦντες, τοὺς ἐν γνώσει πονοῦντας ὑποσκελίσαι βούλονται, ἵνα μὴ ἐκ τοῦ σύνεγγυς τὸν ἔλεγχον ἔχωσιν· ἡ δὲ ἐκείνων κατάπτωσις στεφανίτας ἀναδείκνυσι τοὺς τῆς εὐσεβείας ἀθλητάς. 28 κη΄. Ταπεινοφροσύνην ἄσκησον, ἵνα μηδὲν ζημιωθῇς τῶν καλῶς εἰργασμένων· εἰ δὲ ταύτην ἀπώσῃ, σὺν τοῖς ματαιοπόνοις καὶ αὐτὸς λογισθήσῃ. 29 κθ΄. Χειραγωγεῖν ψυχὴν βούλει; Ἀσφαλίζου σεαυτὸν πάντοθεν ὡς συνετός, ἵνα μὴ καταποντισθῇς ὑπὸ ἡδονικῶν λογισμῶν, καὶ τὸ πτῶμα ἐν τῷ λιμένι γένηται. 30 λ΄. Ἐὰν λιμένα βούλει εἶναι ἀσφαλῆ, τοὺς προβόλους ἀλκίμους καθεδραίωσον, ἵνα μὴ ὑπὸ λαίλαπος ἡδονῶν σαλευθῶσιν εὐχερῶς, καὶ ναυάγιον ἀντὶ λιμένος ἔσῃ. 31 λα΄. Μὴ ἔμπλεκε ἄγκυραν τῇ ἀγκύρᾳ, ἐὰν κοῦφόν τι ὑπολέλειπται ἐν σοί, ἵνα μὴ κατασπασθῇς ὑπὸ παθῶν εὐχερῶς. Ὁ γὰρ βουλόμενος ἀνελκύσαι τὸν πεσόντα ἐν λάκκῳ, ἀνδρείῳ λογισμῷ ἐπιλαβέσθαι ὀφείλει, ἵνα μὴ ὑπὸ τῆς ἐκείνου ἀγκύρας κατασπασθῇ ἐν τῷ αὐτῷ βόθρῳ. Οἱ γὰρ ἐμπαθεῖς λόγοι, ὅταν εὕρωσι χῶρον, ὡς ὑπὸ ὀγκίνων καθέλκουσι τὴν ψυχήν. 32 λβ΄. Φεῦγε ἀεὶ συντυχίας ἐπιβλαβεῖς, καὶ ἐν εὐδίαις πολλὴ ἡ ψυχή σου. 33 λγ΄. Βλάβος καθίσταται μοναχός, μὴ πράττων ἐν συνέσει πνευματικῇ πάντα αὐτοῦ τὰ ἔργα. Ἀκεραίους γὰρ καὶ σοφοὺς βούλεται ὁ λόγος ὑπάρχειν πάντας ἡμᾶς. 34 λδ΄. Ἐὰν μὴ ἐπυρώθης σφόδρα ὑπὸ τοῦ Ἁγίου Πνεύματος, μὴ θέλε ἀκούειν ἀλλοτρίους λογισμούς. Διττὸν γὰρ πόλεμον εὑρήσεις ἐν αὐτοῖς· προηγουμένως μὲν τὸ ταῖς μνήμαις τῶν ἀκουσθέντων ἐνασελγαίνειν τὴν ψυχήν· ἐπὶ τὰ δὲ ἐναντίωσιν φέρειν ὑπὸ τοῦ ὑποθεμένου, ὅταν μὴ γενναίᾳ ψυχῇ τὰ πάθη ἀνατρέψῃ τῇ σταυροφόρῳ δυνάμει. Ὁ γὰρ τοιοῦτος, ὅταν πάλιν ἐξ ἀμελείας τοῖς αὐτοῖς περιπέσῃ πάθεσιν, ὃν εἵλετο διορθωτήν, ὡς πολέμιον καθορᾷ. Ἐκεῖνος δέ, ἐὰν ᾖ συνετός, λήθην προσποιεῖται πρὸς τὸν ὑποθέμενον αὐτῷ. 35 λε΄. Ὥσπερ τις ἔχων περιστερὰν ἐν οἴκῳ, καὶ εὑροῦσα ἀνεῳγμένην θυρίδα ἐκπετασθείη τοῦ οἴκου, οὐ μετὰ ῥάβδου ἢ λίθου τὴν ἀνάκλησιν ποιεῖται ταύτης, ἀλλ' ἐπιρράνας σπέρματα, ἐν συνέσει βούλεται ταύτης ἐπιλαβέσθαι. Πολλῆς τοίνυν συνέσεως καὶ ἐμπειρίας ἐπιδέεται, ὁ τὸν ῥύπον τῶν λογισμῶν καθῆραι βουλόμενος. 36 λϛ΄. Ἐὰν τῇ ἀναγνώσει κέχρησαι, μὴ τὸ γοργὸν καὶ ῥητορικὸν δίωκε μόνον· μηδὲ ἄχρι τούτου ἔστω σοι τὸ σπουδαζόμενον, ἵνα μὴ ὁ τῆς αὐταρεσκείας δαίμων πλήξῃ σὴν καρδίαν. Ἀλλὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

καρπίζου ἐξ αὐτῶν τὰ τῆς ψυχῆς ἰάματα, ὥσπερ ἡ σοφὴ μέλισσα ἐπισυνάγουσα ἐκ τῶν ἀνθῶν τὸ μέλι. 37 λζ΄. Ὥσπερ κενόδοξος ἀνήρ, τῇ περιουσίᾳ πένης ὤν, ἐπιθῇ ἑαυτῷ ὄνομα βασιλέως, οὐκ ἔστι δὲ βασιλεύς, οὕτω καὶ μοναχὸς κρυφῇ ἐσθίων καὶ ἐπὶ τραπέζης ἀδελφῶν ὑποκρινόμενος ἀσιτείαν καὶ ἐγκράτειαν, οὐκ ἔστιν ἀσκητής· ἱστὸν γὰρ ἀράχνης ὁ τοιοῦτος ὑφαίνει. Οὐ γὰρ τὴν τῶν Ἁγίων ὁδὸν ὀρθὴν βαδίζει, ἀλλὰ τὴν τῶν ἀνθρωπαρέσκων· πρὸς ὃν τὸ Πνεῦμα τὸ Ἅγιον ἔφησεν· διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. 38 λη΄. Ἐὰν ἀπετάξω τῷ κόσμῳ, ἐπιμελοῦ τοῦ ἔργου σου, ἵνα τοῦ ζητου μένου μαργαρίτου ἐπιτύχῃς. Τινὲς γὰρ ἀποταξάμενοι τῷ κόσμῳ, ἀνεχώρησαν τοῦ βίου, οἱ μὲν καὶ στρατείαν καταλείψαντες, οἱ δὲ καὶ πλοῦτον διασκορπίσαντες. Ἔσχατον δὲ ἰδίῳ θελήματι ἀχθέντες κατέπεσον. Καθότι οὐδὲν ταλαιπωρότερον θελήματι ἰδίῳ κρατεῖσθαι καὶ μὴ κατὰ βούλησιν Θεοῦ πολιτεύεσθαι. Οὗτοι μὲν γὰρ τῇ αὐθεντικῇ πύλῃ ὑπεκρίθησαν ὑποκεχωρηκέναι τῶν τοῦ βίου πραγμάτων, τῇ δὲ παραθύρᾳ εὕρηνται ἐνδότερον. 39 λθ΄. Ὥσπερ οἱ υἱοὶ Ἰσραήλ, μετὰ τὸ ἐξελθεῖν τῆς καμίνου τῆς σιδηρᾶς καὶ διασωθῆναι διὰ τῆς ἐρυθρᾶς θαλάσσης καὶ ἀπολαῦσαι τοιούτων δωρεῶν, θελήματι ἰδίῳ ἀχθέντες εἰς τὴν ἤπειρον ἐναυάγησαν, καὶ ἐκ τοσούτου πλήθους τῶν ἠριθμημένων, δύο ἐσώθησαν, οἱ τὸ λόγιον Κυρίου μὴ παραπικράναντες καὶ τὴν βουλὴν τοῦ Ὑψίστου ὁσίως φυλάξαντες. 40 μ΄. Οἱ ἀποταξάμενοι τῷ κόσμῳ οὐδὲν κοινὸν ἔχουσι μετὰ τοῦ κόσμου. Οὗτοι, κἂν εἰς κεφαλὴν καταστῶσιν, ὡς μὴ ἄρχοντές εἰσιν· εἰ δὲ καὶ καθαιρεθῶσιν, οἱ αὐτοὶ τυγχάνουσι τῷ λογισμῷ. Οἱ δὲ παρενεχθέντες τοῦ εὐσε βοῦς λογισμοῦ, πρὸς μὲν τὰ ἡδέα τοῦ κόσμου πρόχειροι τυγχάνουσι, καὶ οὐκέτι λοιπὸν περὶ ἀρετῆς ὁ ἀγὼν αὐτοῖς ὑπάρχει· ἀλλὰ τὸν ζυγὸν ἀπορρίψαντες ἐπιμελεστέρως οἰκοδομοῦσιν, ἃ πάλαι καλῶς κατέλυσαν. Ὥσπερ γὰρ παρθένος σεμνοτάτη ἐν ταμιείῳ θαλαμευομένη τὰς αἰσθήσεις διαφθαρείη, τὴν αἰδῶ ἀποβαλοῦσα ἀναισχύντως τὰ ἀθέμιτα ἐπιτελῇ, μήτε Θεὸν φοβουμένη, μήτε ἀνθρώπους ἐντρεπομένη· ἀλλ' οὐ παρὰ τοῦτο τὰς χεῖρας Θεοῦ διαδράσει. Ἡ γὰρ ἡμέρα ἑκάστου τὸ ἔργον δηλώσει, ὅτι ἐν πυρὶ δοκιμασθήσεται. 41 μα΄. Μακάριος ὁ ἔργῳ κηρύσσων τὴν ἀρετήν. Τὸ γὰρ λέγειν τὰ οἰκεῖα τῆς ἀρετῆς καὶ τὰ ἐναντία πράσσειν, οὐ σῴζει. Ὥσπερ οὐδὲ ὁ περὶ σωφροσύνης διαλεγόμενος καὶ φαῦλα διαπραττόμενος τῶν βραβείων ἐπιτεύξεται. 42 μβ΄. Μὴ κατατρύχου τῇ διανοίᾳ, θεωρῶν τοὺς φιληδόνους τὰ ἡδέα ἀφόβως ἐπιτελοῦντας· τὸ γὰρ ἄνθος αὐτῶν δυσωδίας μεμέστωσται· τὸ δὲ τῶν φιλαρέτων ἐν φωτὶ διαλάμπον, εὐωδίας πεπλήρωται. Ἐπίμενε οὖν τῇ ἀρετῇ, ἵνα καὶ ἐπὶ τῶν ταῖς ὑγραῖς καὶ διαλελυμέναις ἀνακειμένων ἡδοναῖς θαυμασθήσῃ· κἂν γὰρ μὴ προφανῶς βούλωνται τοῦτο ποιεῖν, ἀλλ' ἐν ἑαυτοῖς μακαρίζουσι τοὺς ἐργάτας τῶν ἀρετῶν. 43 μγ΄. Ὅταν θεάσῃ σώματα δι' ἐπιμελείας λάμποντα πρὸς ἔρωτα αἰσχρόν, μὴ θαύμαζε ἐπὶ τούτοις, μηδὲ ἐξαπατάτω σε ἡ τοῦ δέρματος χρόα μετ' ὀλίγον εἰς κόνιν καταλύουσα, ἀλλὰ ψάλλε μετὰ στεναγμοῦ ἐν σεαυτῷ, λέγων· μνήσθητι, Κύριε, ὅτι χοῦς ἐσμεν. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει· ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἐν τούτῳ, χάριτι Θεοῦ, οὐκ ἔσῃ αἰχμάλωτος τῷ Πονηρῷ. 44 μδ΄. Δέου τοῦ Κυρίου ἐμπόνως, ὅπως χαρίσηταί σοι πνεῦμα σωφροσύνης τελείας, ἵνα καὶ ἐν ταῖς νυκτεριναῖς φαντασίαις διαδράσῃς τὰς ἐπιβουλὰς τοῦ Πονηροῦ, ὃν τρόπον τις θεάσοιτο ἑαυτὸν διωκόμενον ὑπὸ θηρίου, ἢ ὑπό τινος μετὰ λαμπάδος πυρός, καὶ ἅλλεται δῆθεν ἀπὸ δώματος εἰς δῶμα τοῦ μὴ φλογισθῆναι ὑπὸ τοῦ πυρός. 45 με΄. Ὥσπερ οὐκ ἔστι διὰ χρημάτων γράμματα ἢ τέχνην ὠνήσασθαι ἀκαματί, οὕτως οὐκ ἔστι μοναχὸν γενέσθαι δίχα ἐπιμελείας καὶ ἐπιπόνου ὑπομονῆς. 46 μϛ΄. Ὥσπερ τὴν κεφαλὴν προτιμοτέραν ἔχεις ὑπὲρ πάντα τὰ μέλη τοῦ σώματός σου, καὶ εἴτε λίθος σοι ἐπαχθῇ, εἴτε ῥόπαλον, εἴτε ξίφος, τὰ λοιπὰ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

μέλη τοῦ σώματος προτείνεις, ἀνακουφίσαι βουλόμενος τῆς κεφαλῆς τὴν πληγήν, εἰδὼς ὅτι ταύτης ἐκτὸς ζῆν ἐν τῷδε τῷ βίῳ οὐ δυνατόν· οὕτως ἔστω σοι προτιμοτέρα πάντων ἡ πίστις τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, καθότι δίχα ταύτης ζῆν τινα τὴν ὄντως ζωήν, τῶν ἀμηχάνων ἐστίν. 47 μζ΄. Ἐν ὅλῃ καρδίᾳ σου ἔλπιζε ἐπὶ Κύριον, καὶ ἐπιβουλὰς κακούργων διαδράσεις εὐχερῶς· οὐ γὰρ παρόψεται Κύριος τοὺς δουλεύοντας αὐτῷ. 48 μη΄. Ἐγλίχετο ἀπατᾶν ἡ Αἰγυπτία τὸν φιλόθεον Ἰωσήφ, καὶ τυραννικῶς ἤπειγε πρὸς τὸν διεστραμμένον σκοπόν. Ὁ δὲ νέος ἐδρόσιζε τὴν ἰδίαν ψυχὴν τῇ τοῦ Παντοκράτορος μνήμῃ, ἵνα μὴ καταφλεχθῇ ὑπὸ πυρὸς ἀνόμου. Ἠσφαλίζετο δὲ τὰς αἰσθήσεις, ὅπως μὴ δῷ χώραν ἀλλοτρίοις λογισμοῖς καὶ αἰχμάλωτος γένηται ὑπὸ ἀσέμνου γυναικός. Ἐθεώρει γὰρ αὐτὴν ἀεί, ὡς παγίδα θανάτου· καὶ ὑπομείνας πειρασμόν, στεφανίτης γέγονε καὶ βασιλεὺς Αἰγύπτου. 49 μθ΄. Ἔδοξαν παράνομοι ἐπανίστασθαι ἐν Βαβυλῶνι κατὰ ψυχῆς ὁσίας, ἵνα μιάνωσιν αἰσχρῶς· ἀρωγὸν δὲ ἐσχηκυῖα τὸν Θεὸν τὸν ὕψιστον, τούτους κατέβαλεν εὐχερῶς. Συνέδριον δὲ συστησάμενοι κατὰ τῆς μακαρίας, ὡς αὐτοὶ ἐνόμιζον, καὶ οὐκ ἔγνωσαν οἱ ματαιόφρονες, ὅτι ἐν αὐτῷ ἔμελλον δέξασθαι ἀπόφασιν θανάτου. Οὐ γὰρ παιχθήσεται ὁ ἀκοίμητος ὀφθαλμός. 50 ν΄. Ἐν τῇ στενῇ καὶ τεθλιμμένῃ ὁδῷ βαδίσωμεν, ἀδελφοί, ἵνα τίμιοι γενόμενοι φρουρὸν ἔχωμεν τὸν Θεόν. 51 να΄. Οἱ μαργαρῖται ἀεὶ ἐν τοῖς ἐνδοτάτοις ταμιείοις φυλάττονται· τὰ δὲ ἄχρηστα ἤδη ἐν πλατείαις, ὡς κοπρία, περιρρίπτονται. 52 νβ΄. Ἐάν τις σε λοιδορῶν ἐξείπῃ ἃ διεπράξω φαῦλα, ἑαυτὸν αἰτιῶ μᾶλλον ὑπὲρ τὸν ἕτερον· σὺ γὰρ τὰ σεαυτοῦ ἔργα κατῄσχυνας, ὅπερ παρ' ἑτέρου ψιλῷ λόγῳ ἀκοῦσαι οὐκ ἀνέχῃ. Μὴ σίγαζε ἐκεῖνον τῇ ἀπειλῇ τοῦ θυμοῦ, ἀλλὰ σαυτὸν διόρθωσαι τοῦ μὴ ποιεῖν τὰ φαῦλα· ἡ γὰρ δυσωδία τοῦ ἔργου γνώριμόν σε καθίστησιν, ὅτι ἐπίβουλος ὑπάρχεις τῆς ἑαυτοῦ ψυχῆς. 53 νγ΄. Διάσμηξον σεαυτὸν τῶν ἀθεμίτων πράξεων διὰ τῆς μετανοίας, καὶ λοιδόρου ψόγος οὐ μή σε καταπτήξει. 54 νδ΄. Ἀνθίστασο τῇ ἁμαρτίᾳ, ὦ τῆς ζωῆς ἐργάτα, καὶ μὴ φοβοῦ πειρασμοῦ παρουσίαν· οὐ γὰρ βλάψει ἡ πεῖρα τὸν γενναῖον ἀθλητήν. 55 νε΄. Δεῖ οὖν ἡμᾶς διὰ τοῦ πυρὸς τοῦ θείου τῷ πυρὶ ἀνθίστασθαι. Ὥσπερ ἡ πλίνθος ὠμὴ οὖσα ἀσθενὴς ὑπάρχει καὶ ἐπίσαθρος, ἡνίκα δὲ προσομιλήσῃ τὸ πῦρ, καὶ τὴν ὄπτησιν δέξηται, τέλος γίνεται πυρὶ καὶ φραγμὸς τοῦ ὕδατος. Καὶ ὥσπερ ἐν κεραμίῳ ὕδωρ, οὕτως ἡ κάμινος συνέχει ἐν αὐτῇ τὴν ἐξαφθεῖσαν φλόγα· αὐτὴ δὲ ἡ κάμινος ἐκ πλίνθου διήρτηται. 56 νϛ΄. Γενοῦ καὶ αὐτὸς στιβαρὸς ἐν πειρασμοῖς καὶ θλίψεσι, καὶ ἀντίστα ταῖς ἐμπυρακτούσαις ἡδοναῖς, ἵνα μὴ ὥσπερ ἡ ὠμὴ πλίνθος ὑπὸ σταγόνων ὑετοῦ διαλυθῇς, καὶ ἣν δοκεῖς πῆξιν οὐκ ἔχῃ. 57 νζ΄. Μή, ὃ δοκεῖς πράττειν καλόν, ἀγαθὸν εἶναι ἡγοῦ, ἀλλὰ τὸ μαρτυρούμενον ὑπὸ ἀνδρῶν εὐσεβῶν. 58 νη΄. Ἄκουε τῆς φωνῆς τοῦ Κυρίου, ἵνα σοι βοηθήσῃ καὶ τὰς χεῖρας ἐπιβάλῃ ἐπὶ τοὺς θλίβοντάς σε καὶ τοὺς ἐχθρούς σου ταπεινώσῃ· ἵνα μὴ παρακούσας ἀκούσῃ· ἐξαπέστειλεν αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. 59 νθ΄. Ἀγωνίζου μὴ δουλεύειν ἰδίῳ θελήματι, ἀλλ' ὑπήκοος γενοῦ τῶν φοβουμένων τὸν Κύριον, καὶ ἐν τῷ ἐλέει τοῦ Θεοῦ συντρίψεις τὴν κεφαλὴν τοῦ Δράκοντος. Ἐν ὅσῳ δὲ καταφέρῃ ῥᾳδίως πρὸς τὰ σεαυτοῦ θελήματα, γίνωσκε σεαυτὸν μακρὰν ἀφεστηκότα τῆς τελειότητος· καὶ ὅσον ἀπέχῃ τελειότητος, τοσοῦτον ἐπιδέῃ παιδείας τε καὶ διδασκαλίας. 60 ξ΄. Ὑπόμεινον τὴν θλῖψιν ἐν Κυρίῳ, ἵνα χαρά σε περιλάβῃ· ὑπόμεινον τὸν κόπον, ἵνα εὕρῃς τὸν ἔγκαρπον μισθόν. Ὁ λατόμος κόπτων τὴν πέτραν, καὶ ὁ χαλκεὺς ἐλαύνων τὸν σίδηρον, κομιοῦνται τὸν μισθόν. 61 ξα΄. Ὁ φεύγων πόλεμον, οὐδὲ λαφύρων κρατήσειε· καὶ ὁ φεύγων παιδείαν, ἐν φρονίμοις οὐ διαμεριεῖται κλῆρον. 62 ξβ΄. Ἀνάβηθι εἰς ὕψος καὶ ὄψει τὰ γήϊνα πάντα ταπεινὰ καὶ εὐτελῆ· εἰ δὲ κατέλθῃς ἐξ ὕψους, οἰκίσκον κεκονιαμένον ἐκθαυμάσεις. 63 ξγ΄. Ἐπίβα τῇ γνώσει, ὦ τῆς εὐσεβείας ἐργάτα, καὶ ἀντὶ ὀχήματός σε ἀναβαστάσει, καὶ ἐκ πολλῶν προσκομμάτων σε διαφυλάξει· οὐ γὰρ ἐάσει τὸν ἑαυτῆς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐραστὴν λέγειν ἢ πράττειν ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. 64 ξδ΄. Ὀσμὴ γνώσεως ἐν ἀνδρὶ τὸ ἑαυτὸν αἰτιᾶσθαι πάντοτε· αἰτιωμένου δὲ ἑαυτὸν τὸ μὴ κρίνειν τὸν ἕτερον ἐν τοῖς αὐτοῖς σφάλμασι περιπεπτωκότα. 65 ξε΄. Δύο δούλων σφαλέντων, κατεκλείσθησαν ἐν φρουρᾷ ἐπὶ τοῖς αὐτοῖς ἐγκλήμασιν· ἀγνώμων τοιγαροῦν ὁ ὀνειδίζων τὸν ἴδιον σύνδουλον. 66 ξϛ΄. Τὸν περιπεσόντα πειρασμῷ μὴ γέλα κατακρίνων, ἀλλὰ προσεύχου συνεχῶς μὴ εἰσελθεῖν εἰς πειρασμόν· ὁ γὰρ ὑπὸ λαίλαπος λογισμῶν σκοτωθεὶς τὴν καρδίαν καὶ καταγωνισθεὶς ὑπὸ παθῶν, ἄνθρωπον οὐκ ἐντρέπεται καὶ Θεὸν οὐ φοβεῖται. Καὶ εἰ μὲν δυνάστης ὑπάρχει, μετὰ ἀδείας πράττει τὰ κακά· εἰ δὲ ἀσθενὴς καὶ πτωχός, θαρρῶν τῇ δυστροπίᾳ, ἀναισχύντως καὶ αὐτὸς τὰ φαῦλα διαπράττεται. 67 ξζ΄. Μὴ γίνου φιλήδονος καταφρονητής· ἄκουε δὲ τοῦ Ἱεροψάλτου βοῶντος· ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπόλοιντο οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ· καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. 68 ξη΄. Ἔλαβες κελλίον, ὦ μοναχέ, προσεύχου συνεχῶς ἐν ταπεινῇ καρδίᾳ, ὥσπερ οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ τοῦ πυρός, καὶ μὴ ποιήσεις σεαυ τὸν σπήλαιον λῃστῶν, ἐπιτελῶν τὰ ἀθέμιτα, ἵνα μὴ αἰσχυνθῇς ἐν ἡμέρᾳ τῆς κρίσεως, ὅτε ἀποκαλύπτονται τὰ κρυπτὰ τῶν ἀνθρώπων. 69 ξθ΄. Ὁ ἐν ἀμητῷ ἀμελῶν, εὐθηνίας ἐκτὸς ἔσται αὐτοῦ ὁ οἶκος· καὶ νῦν ὁ καταφρονῶν, ἐν καιρῷ τῶν ἀμοιβῶν, τῆς παρακλήσεως τῶν δικαίων ἐκτὸς εὑρίσκεται. 70 ο΄. Ἔρχεται καιρὸς ἡμῖν, ἀδελφοί, μεστὸς φόβου καὶ τρόμου· ἡνίκα ἀποκαλύπτονται ἃ διεπραξάμεθα ἐν κρυπτῷ καὶ σκοτίᾳ. Καὶ οὐαὶ τῇ ψυχῇ τῇ μὴ ἐχούσῃ τὸν Κύριον βοηθόν. 71 οα΄. Δεῦτε, ἐννοηθῶμεν, ἀδελφοὶ φιλόχριστοι, περὶ τῆς συντελείας ἑκάστου ἡμῶν, πῶς διακείμεθα ἐν τῷ ματαίῳ βίῳ. Μάταιος γάρ ἐστι τοῖς ματαίοις ἐπιβεβιωκόσι διάγων· μακάριοι δέ εἰσιν οἱ ἐν αὐτῷ [βίῳ] ἐμπορευσάμενοι τὴν καλὴν πραγματείαν. 72 οβ΄. Ὥσπερ πλούσιος ἀνὴρ ἐν οὐρίῳ ἀνέμῳ τὸν πλοῦν διανοίγων, ἀνάκειται ἐν στρωμνῇ, ὑψηλὸν ἔχων ὄμμα, προσδοκῶν εὐφρασίαν· ἵστανται οἱ μάγειροι εὐτρεπίζοντες τὰ σῖτα, ἕπεται καὶ στρατιωτῶν στῖφος· ἐπῆλθεν ἄφνω λαῖλαψ, συνετάραξε τὴν θάλασσαν, συνέτριψε τὸ πλοῖον, καὶ αὐτὸς μονώτατος ἀπερρίφη ὑπὸ τῶν κυμάτων εἰς νήσους ἀοικήτους, θηρίων πλήρεις οὔσας· κράζει καὶ ὀδύρεται, καὶ οὐκ ἔστιν ὁ εἰσακούων· τύπτει τὸ πρόσωπον, δονεῖται ὅλῳ τῷ σώματι καὶ καθ' ἑκάστην ὥραν προσδοκᾷ τὸν θάνατον. Ὁ πρὸ ὀλίγου σοβαρὸς τήκεται τῷ λιμῷ καὶ τῷ φόβῳ, καὶ ξηραίνεται δίψει, καὶ οὐκ ἔστιν ὁ παραμυθούμενος. Οὕτως καὶ ἡμεῖς οἱ ἀμελεῖς πάσχομεν ἐπὶ ξηρᾶς· τρυφώντων γὰρ ἡμῶν ἐν βίῳ τῷ ματαίῳ, ἦλθεν ἄφνω θάνατος, ἥρπασε τὸν ἀμελῆ καὶ ἔρριψεν εἰς φοβεροὺς τόπους, ἔνθα κολασθήσονται πάντες ἁμαρτωλοί, ἀθετήσαντες ἀεὶ τὸν ἴδιον Δεσπότην. 73 ογ΄. Κατανοήσωμεν ἀσφαλῶς, ἐν ποίῳ φόβῳ ἔσται ὁ ὑπὸ κυμάτων ἐκριφεὶς εἰς ὅρια ἀοίκητα, καὶ μὴ ἔχων παντελῆ παραμυθίαν τινός· ἐννοηθῶμεν τοίνυν ἐν ποίῳ φόβῳ ἔσται ὁ ῥιφεὶς ἁμαρτωλὸς ἐν τόπῳ κολάσεως. 74 οδ΄. Ἡ καρδία μου στενάζει, καὶ οἱ ὀφθαλμοί μου ἐπιθυμοῦσι δάκρυα, καὶ ἡ ἁμαρτία μου αἰχμαλωτίζει μου τὸν νοῦν, ἵνα μὴ κατανυγεὶς δεηθῶ τοῦ Κυρίου μετὰ πικρῶν δακρύων, τοῦ μὴ ῥιφῆναί με ἐν σκότει ἐξωτέρῳ. 75 οε΄. Ὁ ῥυσάμενος τὸν λαόν σου ἐκ χειρὸς τοῦ Φαραὼ καὶ ἐκ καμίνου σιδηρᾶς, καὶ διασώσας αὐτοὺς διὰ τῆς ἐρυθρᾶς θαλάσσης, ῥῦσαι καὶ ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν, ὅπως εὕρωμεν χάριν ἐνώπιόν σου, ὅταν μέλλῃς κρῖναι ζῶντας καὶ νεκρούς. 76 οϛ΄. Ἐν ὅσῳ ἐν ἡμῖν ἰσχύς ἐστι, δουλεύσωμεν τῷ Κυρίῳ ἐν εὐθύτητι καρδίας, ἵνα ἐν καιρῷ θλίψεως εὕρωμεν αὐτὸν βοηθόν, ῥυόμενον ἡμᾶς ἐκ μεγάλων κινδύνων. 77 οζ΄. Τοὺς δουλεύοντας αὐτῷ ἐν καθαρᾷ καρδίᾳ, δοξάσει ἐν δόξῃ ἀνεικάστῳ· τῆς γὰρ δόξης τῶν Ἁγίων τέλος οὐχ εὑρίσκεται. 78 οη΄. Κατέπιε τὸ κῆτος τὸν προφήτην Ἰωνᾶν, διὰ προστάγματος Θεοῦ, καὶ ὡς ἐν ταμιείῳ τινὶ ἐφυλάττετο ἐν τῇ κοιλίᾳ τοῦ κήτους· ἔδυ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἡ κεφαλὴ αὐτοῦ εἰς σχισμὰς ὀρέων, καὶ ἐκύκλωσεν αὐτὸν ἄβυσσος ἐσχάτη· κατέβη εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι. Κἀκεῖ προσευχόμενος ἐβόα, οὕτω λέγων· ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, Κύριε ὁ Θεός μου. Ἀνέσχισεν ἡ προσευχὴ τὸν βυθόν, ἔτεμε τὸν ἀέρα, ἀνέβη εἰς οὐρανοὺς καὶ εἰσῆλθεν εἰς τὰ ὦτα τοῦ Κυρίου. Μᾶλλον δὲ αὐτὸς ὁ Κύριος, ὁ πληρῶν τὴν σύμπασαν, οὐ μακρὰν ἀφίστατο τοῦ γνησίου οἰκέτου. 79 οθ΄. Προσέταξεν ὁ Θεὸς τῷ κήτει, καὶ ἐξέρασε τὸν Προφήτην· καὶ ὡς ἀπὸ πλοίου ἀποβάς, ἤρχετο τοῦ κηρύγματος. 80 π΄. Τρίβουσιν ἁμαρτωλοί, κατὰ δικαίων, ὀδόντας· πειρασμοὶ ὑπέρχονται· στεφανοῦνται ὅσιοι· αἰσχύνονται ἀσεβεῖς, κακὰ βουλευσάμενοι κατὰ ἁγίων Θεοῦ. 81 πα΄. Ἐδιώκετό ποτε ὑπὸ πονηρᾶς γυναικὸς Ἠλιοὺ ὁ Θεσβίτης· ὁ δὲ Κύριος δι' ὀρνέου ἔτρεφε τὸν προφήτην· ἐπὶ δὲ τοῖς ἁμαρτωλοῖς λιμὸς ἐπῆλθε δεινός. 82 πβ΄. Ἐν ἅρματι πυρίνῳ ἀνελήφθη ὁ προφήτης Ἠλιού· ἡ δὲ ἄνομος Ἰεζάβελ ἐξ ὕψους τοῦ ἑαυτῆς οἴκου καταρραγεῖσα ἐπὶ γῆς, κατεβρώθη ἐν πλατείαις πόλεως. 83 πγ΄. Ἔβαλον οἱ παράνομοι τὸν προφήτην Ἱερεμίαν ἐν τῷ λάκκῳ τοῦ βορβόρου, μὴ ἀνεχόμενοι ἀκοῦσαι λόγον θεοσεβείας. Ἤκουσε τὴν τόλμην αὐτῶν Ἀβιμέλεχ ὁ Αἰθίοψ, λευκὸς ὑπάρχων τῇ ψυχῇ καὶ τῇ πίστει ἐξαστράπτων, ἤλεγξε τὸν βασιλέα ἐπὶ παρανομίᾳ. Ἔλαβεν ἐξουσίαν, ἀνείλκυσε τὸν προφήτην, καὶ ἔτυχεν εὐλογίας. 84 πδ΄. Ἐπέστησαν οἱ πορθοῦντες ἐπὶ τοὺς πορθήσαντας ἀεὶ τοὺς τοῦ Θεοῦ προφήτας, καὶ ἐδόθη ὁ λαὸς τῶν Ἑβραίων ἐν χειρὶ τῶν πολεμίων. Εἶδον οἱ πολέμιοι τὸν προφήτην τοῦ Θεοῦ, καὶ ἔλυσαν ἐκ τῶν πεδῶν δῶρα προσκομίσαντες· ἐθεώρουν γὰρ αὐτὸν ἐν πολλῇ εὐσεβείᾳ. Ὥσπερ γὰρ ὁ βαστάζων λύχνον φωτίζει τοὺς παρόντας, οὕτως ἐστὶν ἡ ἀρετὴ πάντοτε, τὸ κλέος ἀεὶ βαστάζουσα. 85 πε΄. Ἔβαλον τὸν προφήτην Δανιὴλ οἱ ἀσεβεῖς εἰς τὸν λάκκον τῶν λεόντων διὰ θεοσέβειαν, ὅπως ὑπ' αὐτῶν καταβρωθῇ, καὶ οὐκ ἔγνωσαν οἱ ἄνομοι, ὅτι εἰς ἐντροπὴν ἰδίαν τοῦτο κατεργάζονται. Ὁ δὲ Κύριος ἐν χειρὶ τοῦ Ἀββακούμ, καὶ δι' ἀγγέλου ἁγίου, ἄριστον ἀπέστειλε τῷ γνησίῳ οἰκέτῃ. Οἱ δὲ ἄγριοι θῆρες ἰδόντες τὸν προφήτην ἐν μέσῳ αὐτῶν, κύπτοντες προσεκύνουν· δύναμις γὰρ οὐράνιος ἐνέφραξε τὰ στόματα τῶν λεόντων τοῦ μὴ λυμαίνεσθαι τὸν δίκαιον. 86 πϛ΄. Ἀνείλκυσαν τὸν Προφήτην ἐκ μέσου τῶν θηρίων, καὶ ἐξηλέγχετο ἐκ μέρους ἡ ἀσέβεια αὐτῶν, θεασάμενοι αὐτὸν ὡς νυμφίον ἐκ παστοῦ, στίλβοντα τῷ προσώπῳ καὶ τῇ δόξῃ λαμπόμενον. 87 πζ΄. Εἰκότως τὸ δεύτερον ἀμφέβαλον Βαβυλωνίων τὸ ἔθνος, μὴ ἄρα ἐκαχέκτησαν οἱ ἄγριοι θῆρες, τοῦ μηκέτι ἐσθίειν τῶν ἀνθρώπων τὰ σώματα· ἕκτην γὰρ ἡμέραν ποιήσας ὁ ἐκλεκτὸς τοῦ Θεοῦ ἀνὰ μέσον τῶν ἑπτὰ λεόντων, πᾶσα διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ. Τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ ἦλθεν ὁ βασιλεὺς πενθῆσαι τὸν δίκαιον, κύψας δὲ ἐν τῷ λάκκῳ, θεωρεῖ αὐτὸν καθήμενον μεταξὺ τῶν λεόντων, ὥσπερ ποιμένα ἀνὰ μέσον τῶν ἰδίων προβάτων. τούτου χάριν εἰκότως ἠμφισβήτουν οἱ ἄπιστοι περὶ τῆς τούτου σωτηρίας. Ἡνίκα δὲ ἐνεβλήθησαν ἐν τῷ λάκκῳ τῶν λεόντων οἱ ἐχθροὶ τοῦ δικαίου, θεασάμενοι αὐτοὺς μεληδὸν σπαραχθέντας, καὶ τῶν ὀστέων αὐτῶν λεπτυν θέντων εἰς τέλος, λίαν θαυμάσαντες ἀνεβόησαν ἰσχυρῶς· μέγας εἶ, Κύριε, ὁ θεὸς τοῦ Δανιήλ. 88 πη΄. Οἱ τρεῖς παῖδες οἱ περὶ Ἀζαρίαν μὴ προσκυνήσαντες τῇ εἰκόνι τῇ χρυσῇ, ἰσχυρῶς πεδηθέντες ἐρρίφησαν εἰς τὴν ἐξαφθεῖσαν φλόγα· τὸ δὲ πῦρ οὐ κατετόλμησε φλογίσαι τρίχας αὐτῶν· ἀλλ' ἐξελθοῦσα ἡ φλὸξ ἐνεπύρωσε τοὺς ταύτην ἐκκαύσαντας. 89 πθ΄. Ταῦτα οὖν ἐννοοῦντες, ὦ γνήσιοι ἀδελφοί, μὴ εὑρεθῶμεν ἀδόκιμοι ἐν καιρῷ τῶν πειρασμῶν· διὰ γὰρ τῆς ὑπομονῆς τῶν πειρασμῶν μεγαλύνονται [γὰρ] οἱ θεοφιλεῖς ἀεί. 90 ϟ΄. Ὡς ἔτι ἐν ἡμῖν ἰσχύς ἐστι, δουλεύσωμεν τῷ Κυρίῳ ἐν φόβῳ καὶ εὐθείᾳ καρδίᾳ καὶ ἐν καλῇ προαιρέσει· ἵνα ἐν καιρῷ πειρασμοῦ βοηθήσας τῇ ἡμῶν ἀσθενείᾳ, στεφανηφόρους ἀναδείξας, εἰσάξῃ ἡμᾶς εἰς τὴν βασιλείαν αὐτοῦ. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.